καὶ χαίρετ᾽· ἐκ γὰρ τῆσδ᾽ ἀναψυχῆς πόνων
εὐδαίμον᾽ ὑμῖν πότμον ἐξαγγέλλομαι.

ΙΩΝ. ὦ Διὸς Παλλὰς μεγίστου θύγατερ, οὐκ ἀπιστίᾳ
σοὺς λόγους ἐνδεξόμεσθα· πείθομαι δ᾽ εἶναι πατρὸς
Λοξίου καὶ τῆσδε· καὶ πρὶν τοῦτο δ᾽ οὐκ ἄπιστον ἦν.

ΚΡ. τἀμὰ νῦν ἄκουσον· αἰνῶ Φοῖβον οὐκ αἰνοῦσα πρίν,
οὕνεχ᾽ οὗ ποτ᾽ ἠμέλησε παιδὸς ἀποδίδωσί μοι.
αἵδε δ᾽ εὐωποὶ πύλαι μοι καὶ θεοῦ χρηστήρια,
δυσμενῆ πάροιθεν ὄντα. νῦν δὲ καὶ ῥόπτρων χέρας
ἡδέως ἐκκρημνάμεσθα καὶ προσεννέπω πύλας.

ΑΘ. ᾔνεσ᾽ οὕνεκ᾽ εὐλογεῖς θεὸν μεταβαλοῦσ᾽· ἀεί ποτε
χρόνια μὲν τὰ τῶν θεῶν πως, εἰς τέλος δ᾽ οὐκ ἀσθενῆ.

ΚΡ. ὦ τέκνον, στείχωμεν οἴκους. ΑΘ. στείχεθ᾽, ἕψομαι δ᾽ ἐγώ.

ΙΩΝ. ἀξία γ᾽ ἡμῶν ὁδουρός. ΚΡ. καὶ φιλοῦσά γε πτόλιν.

ΑΘ. εἰς θρόνους δ᾽ ἵζου παλαιούς. ΙΩΝ. ἄξιον τὸ κτῆμά μοι.

ΧΟ. ὦ Διὸς Λητοῦς τ᾽ Ἄπολλον, χαῖρ᾽· ὅτῳ δ᾽ ἐλαύνεται
συμφοραῖς οἶκος, σέβοντα δαίμονας θαρσεῖν χρεών·
εἰς τέλος γὰρ οἱ μὲν ἐσθλοὶ τυγχάνουσιν ἀξίων,
οἱ κακοὶ δ᾽, ὥσπερ πεφύκασ᾽, οὔποτ᾽ εὖ πράξειαν ἄν.

---

1613. *πύλας*] Barnesius, *πύλαις* libri. 1614. *ποτε*] L. Dindorfius, *που* libri. 1616. *στείχωμεν*] Schaeferus, *στείχοιμεν* libri. *στείχεθ᾽*] Canterus, *στείχεσθ᾽* libri. 1617. 18. *ΚΡ. ἀξία — πτόλιν. ΑΘ. εἰς — παλαιούς. ΚΡ. ἄξιον — μοι* libri. correxit Hermannus. 1620. *θαρρεῖν C*